σωτηρίου, καὶ ἀνοίσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον τῆς καρπώ-
11 σεως. [11]καὶ τὸ δέρμα τοῦ μόσχου καὶ πᾶσαν αὐτοῦ τὴν σάρκα
σὺν τῇ κεφαλῇ καὶ τοῖς ἀκρωτηρίοις καὶ τῇ κοιλίᾳ καὶ τῇ κόπρῳ
12 [12]καὶ ἐξοίσουσιν ὅλον τὸν μόσχον ἔξω τῆς παρεμβολῆς εἰς τόπον
καθαρόν, οὗ ἐκχεοῦσιν τὴν σποδιάν, καὶ κατακαύσουσιν αὐτὸν ἐπὶ
ξύλων ἐν πυρί· ἐπὶ τῆς ἐκχύσεως τῆς σποδιᾶς καυθήσεται.
13 [13]Ἐὰν δὲ πᾶσα συναγωγὴ Ισραηλ ἀγνοήσῃ ἀκουσίως καὶ λάθῃ
ῥῆμα ἐξ ὀφθαλμῶν τῆς συναγωγῆς καὶ ποιήσωσιν μίαν ἀπὸ πα-
σῶν τῶν ἐντολῶν κυρίου, ἣ οὐ ποιηθήσεται, καὶ πλημμελήσωσιν,
14 [14]καὶ γνωσθῇ αὐτοῖς ἡ ἁμαρτία, ἣν ἥμαρτον ἐν αὐτῇ, καὶ προσά-
ξει ἡ συναγωγὴ μόσχον ἐκ βοῶν ἄμωμον περὶ τῆς ἁμαρτίας καὶ
15 προσάξει αὐτὸν παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου. [15]καὶ
ἐπιθήσουσιν οἱ πρεσβύτεροι τῆς συναγωγῆς τὰς χεῖρας αὐτῶν ἐπὶ
τὴν κεφαλὴν τοῦ μόσχου ἔναντι κυρίου καὶ σφάξουσιν τὸν μό-
16 σχον ἔναντι κυρίου. [16]καὶ εἰσοίσει ὁ ἱερεὺς ὁ χριστὸς ἀπὸ τοῦ αἵ-
17 ματος τοῦ μόσχου εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου· [17]καὶ βάψει ὁ
ἱερεὺς τὸν δάκτυλον ἀπὸ τοῦ αἵματος τοῦ μόσχου καὶ ῥανεῖ ἑπτά-
18 κις ἔναντι κυρίου κατενώπιον τοῦ καταπετάσματος τοῦ ἁγίου· [18]καὶ
ἀπὸ τοῦ αἵματος ἐπιθήσει ὁ ἱερεὺς ἐπὶ τὰ κέρατα τοῦ θυσιαστη-
ρίου τῶν θυμιαμάτων τῆς συνθέσεως, ὅ ἐστιν ἐνώπιον κυρίου, ὅ
ἐστιν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου· καὶ τὸ πᾶν αἷμα ἐκχεεῖ πρὸς
τὴν βάσιν τοῦ θυσιαστηρίου τῶν καρπώσεων τῶν πρὸς τῇ θύρᾳ
19 τῆς σκηνῆς τοῦ μαρτυρίου. [19]καὶ τὸ πᾶν στέαρ περιελεῖ ἀπ᾽ αὐ-
20 τοῦ καὶ ἀνοίσει ἐπὶ τὸ θυσιαστήριον· [20]καὶ ποιήσει τὸν μόσχον
ὃν τρόπον ἐποίησεν τὸν μόσχον τὸν τῆς ἁμαρτίας, οὕτως ποιη-
θήσεται· καὶ ἐξιλάσεται περὶ αὐτῶν ὁ ἱερεύς, καὶ ἀφεθήσεται αὐ-
21 τοῖς ἡ ἁμαρτία. [21]καὶ ἐξοίσουσιν τὸν μόσχον ὅλον ἔξω τῆς παρεμ-
βολῆς καὶ κατακαύσουσιν τὸν μόσχον, ὃν τρόπον κατέκαυσαν τὸν
μόσχον τὸν πρότερον. ἁμαρτία συναγωγῆς ἐστιν.
22 [22]Ἐὰν δὲ ὁ ἄρχων ἁμάρτῃ καὶ ποιήσῃ μίαν ἀπὸ πασῶν τῶν
ἐντολῶν κυρίου τοῦ θεοῦ αὐτῶν, ἣ οὐ ποιηθήσεται, ἀκουσίως καὶ
23 ἁμάρτῃ καὶ πλημμελήσῃ, [23]καὶ γνωσθῇ αὐτῷ ἡ ἁμαρτία, ἣν ἥμαρ-
τεν ἐν αὐτῇ, καὶ προσοίσει τὸ δῶρον αὐτοῦ χίμαρον ἐξ αἰγῶν,
24 ἄρσεν ἄμωμον. [24]καὶ ἐπιθήσει τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν τοῦ χι-
μάρου, καὶ σφάξουσιν αὐτὸν ἐν τόπῳ, οὗ σφάζουσιν τὰ ὁλοκαυ-
25 τώματα ἐνώπιον κυρίου· ἁμαρτία ἐστίν. [25]καὶ ἐπιθήσει ὁ ἱερεὺς
ἀπὸ τοῦ αἵματος τοῦ τῆς ἁμαρτίας τῷ δακτύλῳ ἐπὶ τὰ κέρατα
τοῦ θυσιαστηρίου τῶν ὁλοκαυτωμάτων· καὶ τὸ πᾶν αἷμα αὐτοῦ
ἐκχεεῖ παρὰ τὴν βάσιν τοῦ θυσιαστηρίου τῶν ὁλοκαυτωμάτων.

10 και ανοισει M] διανοι. BA† ‖ 13 πλημμελησωσιν] -σουσιν B*A ‖ 17 κατενωπιον] κατ > A† ‖ 18 την θυραν A ‖ 21 ολον] > B*A, in *O* sub ÷ ‖ 24 ου] ω A†: item in 29 (non in 33)

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/214 UNIVERSITÄT LEIPZIG